ἡ δὲ χειρουργική, διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει.
ἡ δὲ διαιτητική, διὰ τοῦ διαιτᾶν, ἀπαλλάττει
τὰς ἀρρωστίας. ἡ δὲ νοσογνωμονική, διὰ τοῦ
γνῶναι τὸ ἀρρώστημα. ἡ δὲ βοηθητική, διὰ τοῦ
βοηθῆσαι εἰς τὸ παραχρῆμα ἀπαλλάττει
ἀλγηδόνος. τῆς ἄρα ἰατρικῆς, ἡ μὲν ἐστὶ
φαρμακευτική. ἡ δὲ χειρουργική. ἡ δὲ δι
αιτητική. ἡ δὲ βοηθητική. ἡ δὲ νοσογνω
μονική.

διαίρεσις λόγου:

Λόγος διαιρεῖται εἰς ε΄. ὧν εἷς μὲν ἐστιν, ὃν οἱ πο
λιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις
ὃς καλεῖται πολιτικός. ἑτέρα δὲ διαίρεσις
λόγου, ὃν οἱ ῥήτορες γράφουσιν, εἰς ἐπίδει
ξίν τε προφέρουσιν, εἰς ἐγκώμια καὶ ψόγους
καὶ κατηγορίας. τὸ δὴ τοιοῦτον εἶδος ἐστὶ ῥη
τορικόν. τρίτη δὲ διαίρεσις λόγου, ὃν οἱ ἰ
διῶται διαλέγονται πρὸς ἀλλήλους. οὗτος δὴ
ὁ τρόπος, προσαγορεύεται ἰδιωτικός. ἑτέρα δὲ
διαίρεσις λόγου, ὃν οἱ κατὰ μικρὸν ἐρωτῶν
τες καὶ ἀποκρινόμενοι τοῖς ἐρωτῶσιν. οὗτος δὲ
καλεῖται ὁ λόγος, διαλεκτικός. πέμπτη δὲ διαί
ρεσις λόγου, ὃν οἱ τεχνῖται περὶ τῆς ἑαυτῶν δια
λέγονται τέχνης, ὃς δὴ καλεῖται τεχνικός.
τοῦ λόγου ἄρα, τὸ μὲν ἐστι πολιτικόν. τὸ δὲ,
ῥητορικόν. τὸ δὲ, ἰδιωτικόν. τὸ δὲ, δια
λεκτικόν. τὸ δὲ, τεχνικόν.

διαίρεσις ψυχῆς

Ψυχὴ διαιρεῖται εἰς τρία. τὸ μὲν γὰρ αὐτῆς
ἐστι λογιστικόν. τὸ δὲ, ἐπιθυμητικόν. τὸ δὲ,
θυμικόν. τούτων δὲ τὸ μὲν λογιστικόν ἐστιν
αἴτιον,

ψυχικῶν διαφορῶν

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_209/0335